Πρ. Καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύ-
μου A
Παρέθηκεν ἡμῖν, ὄνομα δ' ἦν αὐτῷ Φέναξ.
Δι. Ταῦτ' ἄρ' ἐφενάκιζες σὺ δύο δραχμὰς φέ-
ρων.
Πρ. Καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν
Τὸν Βασιλέως ὀφθαλμόν. Δι. ἐκκόψειέ
γε
Κόραξ πατάξας τόν γε σὸν τοῦ πρέσβεως. B

LE. *Et, per Iouem, etiam auem Rex apposuit, triplo*
*Maiorem, quàm est Cleonymi: illi nomen est*
*Impostor.* DI. *hac tu impostura duas drachmas*
*Hinc abstulisti.* LE. *Et nunc vnà huc adducimus,*
*Pseudartabanum, Regis oculum.* DI. *vtinam oculum tui*
B *Legati coruus hîc elidat ictibus.*

Σχόλια. Τριπλάσιον Κλεωνύμου.] ὅτι ὡς μέγα ἔχων σῶμα καὶ δειλὸς διεβάλλετο ὁ Κλεώνυμος. ἑτέρωθι δὲ καὶ ἀδδηφάγος εἴρηται. νῦν δὲ καὶ φενακιστὴν αὐτὸν καλεῖ χαριεντιζόμενος. Ταῦτ' ἄρ'.] ἀντὶ τοῦ διὰ ταῦτα. φέρων δὲ τουτέστι λαμβάνων. κομιζόμενος. Ψευδαρτάβαν.] γελοίως ἔπαιξε. παίζει δέ, ὡς τοιούτων ὄντων ὀνομάτων παρὰ Πέρσαις, Ἀρταβάζου καὶ Ἀρταξέρξου. καὶ τὸ Ψευδαρτάβαν ἐποίησε, παρὰ τὴν ἀρτάβην τὸ μέτρον. Περσικὸν δὲ καὶ Αἰγύπτιον τὸ ὄνομα. C Τὸν βασιλέως ὀφθαλμόν.] τὸν μέγα δυνάμενον παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ, ὡς βασιλέως ὦτα, οἱ ὠτακουσταί, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ. οἷς ὡς συνάρχοις χρῆται, ὡς Ἀριστοτέλης πολιτικῶν γ κατὰ λέξιν οὕτω φησίν. ἄτοπον δ' ἴσως ἂν εἶναι δόξειεν εἰ βέλτιον ἴδοι τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων καὶ πράττων δυσὶ καὶ χερσὶν ἢ πολλοὶ πολλοῖς. ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὐτῶν καὶ ὦτα καὶ χεῖρας καὶ πόδας. τοὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτοῖς φίλους, ποιοῦνται συνάρχους. Τοῦ πρέσβεως.] προπαροξυτόνως. ὡς μάντεως. ἀπὸ εὐθείας τῆς ὁ πρέσβις. οἱ δέ, παροξυτόνως ὡς χαλκέως. ἀπὸ εὐθείας τῆς, ὁ πρεσβεύς. οἵτινες ἁμαρτάνουσιν, οὐ γάρ ἐστιν ὁ πρεσβεύς.

---

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ,
### Σκηνὴ τρίτη.
### ΚΗΡΥΞ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΨΕΥΔΑΡΤΑΒΑΣ, ΑΜΦΙΘΕΟΣ. D

Bisetvs. Ψευδαρτάβας ὁ τοῦ Βασιλέως ὀφθαλμὸς λεγόμενος, εἰς τὴν βουλὴν ὑπὸ τοῦ κήρυκος εἰσαχθεὶς Περσικῇ διαλέκτῳ τὰς τοῦ δεσπότου ἐντολὰς δηλοῖ. ὅτι δὲ κῆρυξ τοὺς λόγους τοῦ Ψευδαρτάβα ψευδόμενος ἑρμηνεύει, Δικαιόπολις ἀπιστῶν, καὶ ἀγανακτῶν ἐπὶ τούτοις αὐτὸς αὐτὸν μόνος μόνον βασανίζει, καὶ τὴν ἀλήθειαν ἐξ αὐτοῦ μανθάνει.

## ACTVS I. SCENA III.
### Præco, Dicæopolis, Pseudartabanvs, Amphitheus.

Κη. Ὁ Βασιλέως ὀφθαλμός. Δι. ὦ 'ναξ Ἡρά-
κλεις
Πρὸς τῶν θεῶν ἄνθρωπε ναύφρακτον βλέπεις. E
Ἢ περὶ ἄκραν κάμπτων, νεὼς οἶκον σκοπεῖς.
Ἀσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
Κη. Ἄγε δὴ σύ, βασιλεὺς ἅττα σ' ἀπέπεμψε φρά-
λέξον τ' Ἀθηναίοισιν ὦ Ψευδαρτάβα. (σον
Ψευ. Ιαρταμαν, ἐξαρξαν, ἀπισσονασατρα.
Κη. Ξυνήκαθ' ὃ λέγει; Δι. μὰ τὸν Ἀπόλλω 'γὼ
μὲν οὔ.
Κη. Πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον, F
Λέγε δὴ σὺ μεῖζον, καὶ σαφῶς τὸ χρυσίον.
Ψευ. Οὐ λῆψι χρυσο χαυνόπρωκτ' Ἰαοναῦ.
Κη. Οἴμοι κακοδαίμων ὡς σαφῶς. Δι. τί δ'
αὖ λέγει;

PR. *Regis ocule adesdum.* DI. *oh Hercules: tu per Deos*
*Mi homo quiddam obtuere toruū ac classicum*
*Aut quasi qui promontorium circumeat, &*
*Naui stationem prospiciat. Nam lorum alicubi*
*Quo scalmus munitur, subter oculum tenes.*
PR. *Age tu Pseudarsaba, dic quorum gratia*
*Rex huc te miserit: dic coram his ciuibus.*
PS. *Iartaman exarxan, apissonasatra.*
PR. *Intelligitis, quid dicat?* DI. *ego nō, per Deū.*
PR. *Dicit Regem esse missurum pecuniam:*
F *Dic gratiùs de auro, & quiddam manifestius.*
PS. *Non auricapilati podices Iaonau.*
PR. *Me miserum, quàm perspicuè.* DI. *quid dixit iterum?*

Σχόλια. Ὁ βασιλέως.] οὕτως ἐκάλουν οἱ κήρυκες ἐξ ὀνόματος. Πρὸς τῶν θεῶν] ἐξεπίτηδες μέγαν ὀφθαλμὸν ἐσκευάσθαι ἔχων ὁ πρεσβευτής. ναύφρακτον δέ, ἤτοι ναύσταθμον. ὥσπερ περιβλέποντος ἐν κύκλῳ τοῦ πρεσβευτοῦ, καὶ ἀξιωματικῶς εἰσιόντος. τινὲς δὲ ναύφρακτον, τὴν ἐν ναυσὶ στρατιάν. οἷον οὖν στρατιὰν βλέπεις ὅλην. ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν. ἐφράττοντο δὲ καὶ δερματίνοις τρόποις πρὸς τὸ μὴ τρίβεσθαι τὰ σανιδώματα. G ἄλλως. ὁ ναυτικὸς στρατός, ναύφρακτος καλεῖται. σκώπτων οὖν αὐτὸν διὰ τὸ βαρέως καὶ μόλις προσιέναι ταῦτα φησί. πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίζεις, ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν. ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν ὦσι πλησίον τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. ἐσκευασμένος δὲ ἦν ὁ Πέρσης, δέρμα ἔχων καθειμένον, εἰς τόπον τοῦ τε πώγωνος καὶ τοῦ στόματος, ὡς ἂν προσωπεῖον. ἄλλως. ἔξεισι τερατώδης τις γελοίως ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου.

Bisetvs. Ναύφρακτον βλέπεις, ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν οἱ ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες οἱ ἐρέται ἐκωπηλάτουν. ὥστε τὸ ναύφρακτον βλέπεις, αἴνιγμά ἐστι τοῦ, τρανές, καὶ πλατύ, καὶ μέγα βλέπεις. Σ.